μς'. Μετὰ ταῦτα διαλαμβάνει ὁ Ἀντίοχος περὶ τῶν ιβ' τόπων τοῦ θεματίου καὶ καταλέγει τί σημαίνει ἕκαστος τούτων, καὶ ὅπως ἔστιν γνῶναι ἕκαστον τούτων, καὶ ὅπως ἔστιν γνῶναι ἕκαστον τόπον πόσας ἐπέχει μοίρας τοῦ ζῳδιακοῦ.

Εἶτα τίθησιν μζ' περὶ κλήρων σημασίας, Σελήνης τέ φημι καὶ Ἡλίου καὶ βάσεως ἤτοι ὡροσκόπου, Κρόνου καὶ Διὸς καὶ Ἄρεως καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ, τίνα σημαίνουσιν ἕκαστοι τούτων.

μη'. Τίνων ἐστὶν ταῦτα ἀποτελεστικὰ καὶ διαφόρως σχηματιζόμενα.

μθ'. Περὶ τῶν τελείων καὶ ἐλαχίστων ἐτῶν τῶν πλανωμένων.

ν'. Πῶς ἄν τις μάθοι τὰς τῶν ζῳδίων προθέσεις καὶ τὰς ὥρας τῶν κλιμάτων

να'. Περὶ τῶν μεγίστων ἐτῶν καὶ τελείων ἀποκαταστάσεων τῶν ζ' ἀστέρων.

νβ'. Περὶ τοῦ τί σημαίνει ἀσύνδετος ἡ Σελήνη οὖσα πρὸς τοὺς λοιποὺς πλανωμένους

νγ'. Περὶ τοῦ τί δηλοῦσιν αἱ πρὸς τὸν Ἥλιον δορυφορίαι τῶν ε' πλανωμένων [1].

νδ'. Ἐπίσκεψις πινακικὴ ἤτοι γενέσεως πρὸς κατάληψιν τῆς ἀκριβείας διὰ τόπων.

νε' Περὶ τοκετοῦ ὅπως ὑπὸ τῶν ἀστέρων σχηματιζόμενος δηλοῦται.

νς'. Περὶ τῶν τικτομένων ἀπὸ τοῦ πολεύοντος καὶ διέποντος πρόγνωσις [2].

νζ'. Ἐπὶ τούτοις περὶ ἑνίων τόπων τοῦ πίνακος διαλαμβάνει καὶ α' τοῦ δωδεκάτου τόπου ὀνομασίας καὶ σημασίας ἀναγράφει καὶ σχηματισμοὺς πρὸς αὐτὸν τῶν πλανωμένων καὶ τὰ ἐκ τούτων ἀποτελέσματα, εἶτα περὶ ὡροσκόπου, ὁμοίως περὶ τοῦ β', γ', περὶ τοῦ μεσουρανήματος ὡσαύτως δ', περὶ τοῦ ια' τόπου.

Εἶτα νη κεφάλαιον διαλαμβάνει περὶ τῆς τῶν ἀπλανῶν δυνάμεως καὶ τί σημαίνει ἕκαστος τούτων κατὰ τὰς γενέσεις † ἐπισκοποῦ μοῖ(ρα) [3].

2 τὸ πρόσω] τὰ πρώσωπα cod., corr., cf *Catal.*, I, 160, 3. 12 μάθη cod., corr., cf. *Catal.*, I, 160, 4. 16 ὀσύνδετος (*sic*). τοῦ. 31-32 ἐπισκοποῦ μοῖ(ρα) *sic* in cod. Fuisse videtur in archetypo ὡροσκοπῶν ἢ μεσουρανῶν (sign. astrol.), cf. *Catal.* V, 1, p. 219, 18.

---

[1] Hic desinunt excerpta Antiochi a Francisco Boll edita *Catal.*, I, p. 143-164.

[2] Edidit Boll *Catal.*, VII, 114 18 s.

[3] Haec Antiochi capita νη'-οα', decurtata quidem et interdum immutata, in usum suum convertit excerptor saeculi IX cuius collectanea in codice Parisino 2506 [nostro 9] servata sunt (cf. *Catal.*, V 1, p. 217 s Leguntur enim f. 11-16ᵛ capita : β'. Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως (ed. *Catal.*, V, 1, p. 219-226). — γ'. Περὶ καθολικῶν σχημάτων τῆς Σελήνης καὶ τῶν ιβ' μορίων τῶν ἀστέρων.

45. Those are called subradiate when they happen to fall under the same rays of the Sun, whether ahead or behind.

46. After this, Antiochus discusses the 12 places of the natal chart and enumerates what each of them signifies, and how it is possible to know each of them, and how it is possible to know how many degrees of the Zodiac each place occupies.

Then he sets out, in chapter 47, on the signification of the lots — I mean those of the Moon and the Sun, and of the basis, that is the Horoscope, of Saturn, Jupiter, Mars, Venus, and Mercury — what each of these signifies.

48. Of what things these are productive, when configured in various ways.

49. On the greatest and least years of the planets.

50. How one might learn the dispositions of the zodiacal signs and the hours of the climates.

51. On the greatest years and perfect restorations of the five stars.

52. On what it signifies when the Moon is unconnected to the rest of the wandering stars.

53. On what the spear-bearings of the 5 wandering stars to the Sun indicate.

54. A tabular examination, that is, of the nativity, for the purpose of grasping accuracy through the places.

55. On childbirth, how it is indicated by the configuration of the stars.

56. On those who are born: a forecast from the ruling and governing planet.

57. After these, he treats of certain places of the table, and records the names and meanings of the 1st of the twelfth place, and the configurations of the wandering stars in relation to it, and the effects arising from these; then on the horoscope, likewise on the 2nd, 3rd, on the midheaven similarly, the 4th, on the 11th place.

Then the 58th chapter treats of the power of the fixed stars and what each of them signifies in nativities + being examined degree 8.

2 τὸ πρόσω] τὰ πρώσωπα cod., corr., cf. Catal., I, 160, 3. 11 μάθη cod., corr., el. Catal., I, 160, 4. 16 οσύνδετος (sic). τού. 31-32 ἐπισκοπου μοῖρα sic in cod. It appears there was in the archetype ὡροσκοπῶν ἢ μεσουρανών (astrol. sign.), cf. Catal. V, 1, p. 219, 18.

Here end the excerpts of Antiochus edited by Franz Boll, Catal., I, pp. 143–164.
Edited by Boll, Catal., VII, 114 18 9.

These chapters νη'–οα' of Antiochus, abridged indeed and at times corrupted, were adapted for his own use by an excerptor of the 9th century whose collectanea are preserved in the Paris codex 2506 [our no. 9] (cf. Catal., V 1, p. 217 s.). For the following chapters are found on ff. 11–16: β'. On the power of the fixed stars (ed. Catal., V, 1, p. 219–226). – γ'. On the general configurations of the Moon and of the 12 parts of the stars.

νθ'. Περὶ σχημάτων Σελήνης καθολικῶν πρὸς τοὺς ἀστέρας σχηματιζομένους τίνα σημαίνουσιν ἀποτελέσματα [1]

ξ'. Περὶ τῶν δωδεκατημορίων τῶν πλανωμένων κατὰ τὰς γενέσεις τί σημαίνουσιν.

ξα'. Περὶ σινῶν καὶ παθῶν ἃ ἐκ τῶν σχηματισμῶν τῶν πλανωμένων σημαίνεται.

ξβ'. Περὶ μοιρῶν σινούντων ὀφθαλμούς.

ξγ' Περὶ φαλακρῶν.

ξδ'. Περὶ ποδαγρῶν.

ξε'. Περὶ μαινομένων καὶ ἐπιληπτικῶν.

ξς. Περὶ ἀσελγῶν καὶ μεθύσων καὶ ἐμπαθῶν ἀπὸ τίνων σημαίνονται [2].

ξζ'. Περὶ δεκανῶν ἀσελγοποιῶν τῆς Ἀφροδίτης ἐνούσης αὐτοῖς.

ξη'. Περὶ Ἡλίου ὁμοίως, περί τε Σελήνης καὶ Κρόνου καὶ Διὸς <καὶ> Ἄρεως καὶ Ἑρμοῦ καὶ περὶ ὡροσκόπου [3].

ξθ'. Περὶ ζῳδίων ἀσελγῶν.

ο'. Καθολικὰ σχήματα βι<αι>οθανάτων.

οα'. Καθολικὰ σχήματα ἐκπτώτων.

οβ'. Περὶ τῶν ια' φάσεων τῆς Σελήνης καὶ τί σημαίνουσιν κατὰ τὰς γενέσεις πρὸς τὰ ζῴδια σχηματιζομένης [4].

ογ'. Περὶ τῶν ἀναβιβάζοντος καὶ καταβιβάζοντος ἀποτελεσμάτων.

7 μηρῶν. 11-12 σημαινόντων. 13 αὐτῆς. 17 βιοθανάτων. 21 ἀναβιβάζοντος ex ἀναβιβαζόντων corr. καὶ καταβιβάζοντος suprascriptum.

— δ'. Καθολικὰ σχήματα περὶ σινῶν καὶ παθῶν. — Μοῖραι σινωτικαὶ ὀφθαλμῶν. ε'. Κεφάλαια ποδαγρῶν. — Κεφάλαια μαινομένων, ἐπιλήπτων καὶ παρέφρων. ζ'. Κεφάλαια ἀσελγῶν, ἐμπαθῶν, μεθύσων, μοιχῶν. — η'. Καθολικὰ βιαιοθανάτων σχήματα. — θ'. Καθολικὰ ἐκπτώτων σχήματα. ι'. Περὶ φάσεων τῆς Σελήνης. — ια'. Καθολικὰ εὐτυχούντων σχήματα. Sed iam pridem ostendimus (*Catal.*, V, p. 194 ss.) excerptorem illum saeculi IX astrologum quemdam expilavisse cuius fragmenta amphora Palchus servavit, atque astrologum hunc ignotum Aegyptium esse sed Romae anno 379 p. n. librum suum composuisse. Quem Antiochi Atheniensis, qui certe saeculo tertio est antiquior (cf. infra p. 111, n. 1), doctrinam referre nunc apparet et ex hoc astrologo saeculi IV Palchum versus habuisse quos ante caput περὶ ἀπλανῶν ἀστέρων praebet sub titulo Ἀντιόχου ὅσα οἱ ἀστέρες ἐν τοῖς τόποις τοῦ θέματος τυχόντες σημαίνουσιν (*Catal.*, I, p. 108 ss.; cf. V, 1, p. 35, cod. Rom. 2, f. 135). Hi versus, sive ipsius Antiochi sunt, sive, quod probabilius est, ab eo ex antiquiore poeta adlati sunt, sine dubio excerpti sunt ex capitulo νδ'. Ἐπίσκεψις πινακικὴ ἤτοι γενέσεως πρὸς κατάληψιν τῆς ἀκριβείας διὰ τόπων.

[1] Edidit Boll, *Catal.*, VII, p. 107 s.; cf. *Catal.*, V, 1, p. 212.

[2] Capitulorum ξα'-ξς' formam decurtatam edidit Boll, *Catal.*, VII, p. 111-113; cf. *Catal.*, V, 1, p. 203, p. 226.

[3] Capita ξζ'-ξη' edidit Boll, *Catal.*, VII, p. 115.

[4] Edidit Boll, *Catal.*, VII, p. 116.

59. On the general configurations of the Moon with respect to the stars forming aspects, and what outcomes they signify

65. On the dodecatemoria of the wandering stars in nativities, and what they signify.

61. On injuries and afflictions that are signified by the configurations of the wandering stars.

62. On the degrees that injure the eyes.

63. On bald men.

64. On those suffering from gout.

65. On the mad and the epileptic.

66. On the licentious, drunkards, and the passionately afflicted — from what signs they are indicated.

67. On the decans that produce licentiousness when Venus is present in them.

68. On the Sun likewise, and on the Moon and Saturn and Jupiter and Mars and Mercury and on the horoscope.

69. On Licentious Signs of the Zodiac.

70. General Configurations of Violent Deaths.

71. General Configurations of the Fallen.

72. On the 11 Phases of the Moon and what they signify according to the nativities in relation to the signs of the zodiac which it forms. 4.

73. On the Effects of the Ascending and Descending Node.

7 of the thighs. 11-12 signifying. 13 of it. 17 violent deaths. 21 ascending node corrected from ascending nodes and descending node written above.

---

4. General Configurations concerning injuries and afflictions. — Injurious degrees of the eyes.

5. Chapters on gout. Chapters on the mad, the epileptic, and the paralytic. 7. Chapters on the licentious, the passionate, the drunkards, the adulterers. — 8. General configurations of violent deaths. — 9. General configurations of the fallen. 10. On the phases of the Moon. — 11. General configurations of the fortunate. But we have already shown long ago (Catal., V, p. 194 83.) that that excerptor of the 9th century plundered a certain astrologer whose more extensive fragments Palchus preserved, and that this unknown astrologer was Egyptian but composed his book at Rome in the year 379 of our era. That he reflects the doctrine of Antiochus of Athens, who is certainly more ancient than the third century (cf. below p. 111, n. 1), now becomes apparent, and that Palchus drew from this astrologer of the 4th century the verses which he provides before the chapter on fixed stars under the title 'What the stars signify when they fall in the places of the chart' according to Antiochus (Catal., I. p. 108 33.; cf. V, 1, p. 35, cod. Rom. 2, f. 135). These verses, whether they are by Antiochus himself, or — which is more probable — were cited by him from an older poet, were without doubt excerpted from chapter 54: A tabular examination, that is, of a nativity for grasping its precision through the places.

1 Edited by Boll, Catal., VII, p. 107 s.; cf. Catal., V, 1, p. 212.

* Chapters Ea'-Eç' in abridged form edited by Boll, Catal., VII, p. 111-113; cf. Catal., V, I, p. 203, p. 226.

* Chapters EZ'-En' edited by Boll, Catal., VII, p. 115.

♦ Edited by Boll, Catal., VII, p. 116.

οδ' Καθολικὰ σχήματα εὐτυχούντων.

οε'. Πρὸς τούτοις δὲ διεξέρχεται καὶ περὶ τῶν <τὰς> πράξεις καὶ τὰ ἐπιτηδεύματα δηλούντων σχηματισμῶν.

ος'. Περὶ τῶν γ' ἀστέρων τῶν τὰς ποιότητας τῶν πράξεων σημαινόντων, Ἑρμοῦ, φημί, καὶ Ἄρεως καὶ Ἀφροδίτης καὶ ὅσα μετὰ τῶν λοιπῶν σχηματιζόμενοι ἀποτελοῦσιν.

οζ' Περὶ τῶν τὰς τέχνας ἐπισημαινόντων, οἷον ῥητόρων καὶ παιδευτῶν, μαθηματικῶν ἢ μάντεων καὶ βαλανέων καὶ † νεκρηπαρτῶν οἰκοδόμων τε καὶ κεραμέων, μεθύσων καὶ κιναίδων καὶ γοήτων, τεκτόνων, βυρσέων καὶ λιθοξόων καὶ καβιδαρίων, κυνηγῶν τε καὶ ἱερακοτρόφων καὶ ὀρνιθοτρόφων καὶ ζωγράφων καὶ περιναυτῶν καὶ ῥαπτῶν, μηχανικῶν τε καὶ ψηφάδων καὶ μίμων

οη'. Ἐπὶ τούτοις τίνες καὶ ὅπως σημαίνουσιν τὰ περὶ γονέων.

οθ' Περὶ ἀλλοφύλων γονέων.

.π'. Περὶ πατροκτόνων τέκνων ἢ μητροκτόνων ἢ ἐχθρῶν αὐτοῖς καὶ ἀποβλήτων.

πα'. Περὶ πολυχρονιότητος γονέων ἢ ὀλιγοχρονιότητος ὑπὸ τίνων δηλοῦται.

πβ'. Περὶ γονέων ἀπὸ συνόδων <καὶ> πανσελήνων.

πγ'. Περὶ τελευτῆς γονέων ὅπως καταλαμβάνεται αὐτή.

πδ'. Ὅπως τῶν προκεκοιμημένων ὁ ἀριθμὸς γίνεται δῆλος.

πε'. Περὶ ἀδελφῶν καὶ τῆς φιλίας αὐτῶν ἀμφιθαλῶν τε καὶ ἑτεροθαλῶν μειζόνων τε καὶ μικροτέρων καὶ τῆς ποσότητος αὐτῶν, ἐκ τίνων ἔστιν τὴν γνῶσιν αὐτων θηρευσαι.

πς'. Εἶτα περὶ συναφῶν τε καὶ ἀπορροιῶν διδασκαλία οὐκ ἄχρηστος.

πζ'. Ὅτι σύνδεσμος λέγεται Σελήνης ὅταν τοῦ Ἡλίου ἐπιφαίνοντος <τὰς> μοίρας τοῦ νυχθημέρου αὐτῆς μὴ μεγάλως ἀπέχῃ ἀπ' αὐτοῦ. λύειν δὲ τὸν σύνδεσμον λέγεται, ὅταν τὰς αὐτὰς μοίρας ἀποσπάσῃ ἀπ' αὐτοῦ.

πη'. Κενοδρομία τῆς Σελήνης λέγεται ὅταν μηδεὶς σὺν αὐτῇ μέλλῃ μήτε ζῳδιακως, μήτε μοιρικως, μήτε κατὰ κόλλησιν, μήτε κατὰ σχῆμα μηδὲ ἐντος τῶν λ' μοιρων συναφὴν [μέλλει] ποιεῖσθαι.

πθ'. Πάντα εἰπὼν καὶ συντελεσάμενος ὡς ἐν ὑπυδείγματι γένεσίν τινος γραμματικοῦ πολυπραγμονεῖ καὶ ὅσα τῇ γενέσει ἕπεται μέχρι θανάτου.

2 τὰς suppl. 8 νεκρηπάρτης quid sit nescio; cf. *Catal.*, VII, p. 117, 25. 9 γωήτων. 10 καβυδαρίων cod. καβιδάριοι = lapillorum cavatores, cf. Du Cange. *Gloss.* s. v. 11 περιναυτῶν vix sanum. 11-12 μοιχανικῶν. 15 εγχθρῶν, 19 συνοδωπανσελίνων. 21 προκεκειμημένων. 22 φυλλίας cod. αμφιθαλλῶν. ετερωθαλλῶν. 24 θηρᾶσαι cod., corr.; cf. p. 96, 7, 37; 116, 23, 29; 117, 30 etc. 26-27 ἐπιφαινουσαν corr. Boll, qui τὰς suppl. 28 ἀποσπάσει. 30 μηδενι συν αυτῶ μέλλει. 32 μέλλει del.

---

[1] Edidit Boll, *Catal.*, VII, p. 117.

74. General configurations of the prosperous.

75. In addition to these, he also discusses the configurations that indicate occupations and pursuits.

76. On the 3 stars that signify the qualities of occupations, namely Mercury, Mars, and Venus, and all the effects they produce when configured with the remaining planets.

77. On those that indicate professions, such as orators and teachers, mathematicians or diviners and bath-attendants and † undertakers, builders and potters, drunkards and catamites and sorcerers, carpenters, tanners and stone-cutters and cobblers, hunters and falconers and bird-keepers and painters and sailors and tailors, engineers and mosaic-workers and mime actors.

78. After these, who and in what manner they signify matters concerning parents.

79. On parents of foreign origin.

80. On children who kill their father or mother, or are enemies to them and rejected.

81. On the longevity or short life of parents — by what signs it is indicated.

82. On parents, from conjunctions and full moons.

83. On the death of parents, how it is to be determined. 20

84. How the number of those who have already died becomes known.

85. On siblings and their mutual affection, whether full siblings or half-siblings, whether elder or younger, and their number — from what sources it is possible to obtain knowledge of them.

86. Next, a not unhelpful lesson on applications and separations. S 87. That the conjunction of the Moon is said to occur when, while the Sun is rising, she does not greatly depart from him in the degrees of her daily course. And the dissolution of the conjunction is said to occur when she separates those same degrees from him.

88. The void course of the Moon is said to occur when no planet is about to be in aspect with her — neither by sign, nor by degree, nor by bodily contact, nor by configuration, nor is she about to make an application within 30 degrees.

89. Having stated and completed all things by way of example, he examines the nativity of a certain grammarian and all that follows from the nativity until death.

2 τὰς suppl. 8 What νεκρηπάρτης means I do not know, cf. Catal., VII, p. 117, 25. 9 ζωή-των. 10 καβυδαρίων cod. καβιδάριοι = lapillorum cavatores, cf. Du Cange. Gilors. s. v. 11 περιναυτών hardly sound. 11–12 μοιχανικών. 19 15 of enemies, συνοδωπανσελίνων. 21 προκεκειμημένων. 12 φυλλίας τοῦ. of full siblings. ἑτερωθαλλών. 24 Unpaoal cod., corr.; cf. p. 96, 7, 37; 116, 23, 29; 117, 30 etc. 25–27 ἐπιφαίνουσαν corr. Boll, who suppl. τὰς. 28 ἀποσπάσει. 30 μηδενὶ σὺν αὐτῷ μέλλει. 31 μέλλει del.

1 Edited by Boll, Catal., VII, p. 117.

ϛ'. Καὶ δεύτερον βασιλέων γένεσιν τῇ αὐτῇ καθυποβάλλει μεθόδῳ.
Οὗτος ὁ Ἀντίοχος μεταγενέστερός ἐστιν καὶ Παύλου τοῦ Ἀλεξανδρέως καὶ Οὐάλεντος

Τῶν Ἀντιόχου εἰσαγωγικῶν βιβλίου α' συγκεφαλαίωσις[3].

5 Διαλαμβάνει α' περὶ τῶν ζ' πλανωμένων[4] ἀρξάμενος ἀπὸ Κρόνου μέχρι Σελήνης. λέγει γοῦν τὴν πρώτην τάξιν καὶ πρὸς οὐρανὸν ἐγγυτέραν ἐπέχειν Κρόνον· ἄρχειν τε χρονίων πραγμάτων ὑγρότητός τε καὶ ψύξεως καὶ παλαιῶν ἔργων καὶ ἑτέρων συστοίχων, ἃ καὶ τοῖς ἄλλοις ἀστρολόγοις λέγεται, καὶ ὡς ἐν μὲν ἰδίοις τόποις χρηματίσας καὶ λαμ-
10 πήναις, καλῶς τε σχηματισθεὶς ὠφελεῖ τοῖς γενομένοις, ἐξ ἀλλοτρίας βλάβης τὴν αὔξησιν αὐτοῖς προσνέμων, κακῶς δὲ σχηματισθεὶς ἐκ τῶν αὐτῶν ἐπάγει τὰς συμφοράς· καλεῖται δὲ Φαίνων. — Ὁ δὲ τοῦ Διὸς μέσος ὢν Κρόνου τε καὶ Ἡλίου ἄρχει μὲν μεγαλοπρεπείας καὶ δόξης καὶ σεμνότητος καὶ τῶν συστοίχων· καλεῖται δὲ Φαέθων. — Ὁ δὲ τοῦ Ἄρεως
15 πυρρός τέ ἐστιν τὸ χρῶμα ὡς ἄνωθεν ἐγγίζων Ἡλίου, ἄρχει δὲ τοῦ τε ἐν ἡμῖν αἵματος καὶ [τοῦ] τῆς σπερματικῆς ὁρμῆς, θυμοῦ τε καὶ ὀργῆς καὶ θράσους καὶ ὅσα σιδήρῳ πράττεται, καὶ τῶν τούτοις ὁμοίων· καλεῖται δὲ Πυρόεις. — Ὁ δὲ Ἥλιος ἄρχει μὲν πνεύματος καὶ ψυχῆς καὶ κινήσεως πνευματικῆς καὶ πατρικοῦ καὶ ἡγεμονικοῦ προσώπου. — Ὁ δὲ τοῦ
20 Ἑρμοῦ, ἅτε δὴ συναπτόμενος Ἡλίῳ, σπανιώτερον μὲν ὁρᾶται, ἄρχει δὲ φρονήσεως καὶ λόγου καὶ ἐπιστήμης καὶ τῶν παραπλησίων· καλεῖται δὲ Στίλβων. — Ὁ δὲ τῆς Ἀφροδίτης καὶ αὐτὸς παρακείμενος τῷ Ἡλίῳ καὶ μέγεθος ἔχων ἄρχει μὲν εὐπρεπείας καὶ καθαριότητος καὶ φιλοστοργίας

3 ἀλεξάνδρου. 4 Ἀντιόχου εἰσαγωγικόν in summa pagina manu rubricatoris. 16 τοῦ del. 20 δὴ] δεῖ. 23 φιλοστοργείας.

---

[1] De aetate Antiochi Atheniensis disseruit Boll, *Sphaera*, p. 54 ss. et *Heidelberger Sitzungsb.*, l. c. Certe ante saeculum tertium vixit, nam a Porphyrio citatur. Sed epitomator non ipsius Antiochi *Thesauros* legit, sed Rhetorii paraphrasin saeculo VI confectam ubi Vettii Valentis (quem sane Antiochus ipse legere potuit) et Pauli Alexandrini sententiae interdum afferebantur, ut ex capitulorum ιγ'-ιθ' summario (p. 105, 38 - 106, 17) et ex codicis Parisini 2506 excerptis (cf. p. 108, n. 3) apparet.

[2] Porphyrius in *Isagoges* capitulo Περὶ σπορίμου τῆς Σελήνης (p. 194, ed. 1559) Antiochi sententiam refert, sed philosophum tertii saeculi veteris astrologi librum saepius in definitionibus et in exemplis ad verbum descripsisse nunc apparet, quod iam Boll ex aliis indiciis suspicatus erat (*Sphaera*, p. 56, n. 5). Fontes autem Antiochi, quos quidem ipse prodit, fuerunt Aegyptiaci libri Hermetis Trismegisti (p. 116, 10; 117, n. 1; 118, 2) et Petosiridis ac Nechepsonis (p. 116, 11; 119, 25; cf. Porphyr *Isag.*, p. 194, l. 14) Praeterea Hermetis interpretem Timaeum nominat (p. 116, 3, 11), qui sine dubio scriptor fuit primi p. C. saeculi, sicut Asclatio, vel antiquior (cf. *Catal.*, I, p. 97 s.: V, 1, p. 204, n. 6; p. 205, n. 1; Vett. Val., II, 31 (102, 19 ed. Kroll); IX prooem. (339, 23 Kroll).

[3] Similem epitomen eiusdem capituli edidit Boll, *Catal.*, VII, p. 127.

90. And he subjects the nativity of a second king to the same method. This Antiochus is later than both Paul of Alexandria and Valens.

Summary of Book 1 of the Introductory Works of Antiochus. 5 The first section deals with the 7 planets, beginning from Saturn down to the Moon. He says that Saturn holds the first rank and the one closest to heaven; and that he rules over matters of duration, moisture and cold, and over ancient works and other things of the same class, which are also attributed to him by other astrologers, and that when he has operated in his own places and is in bright positions, being well configured he benefits those born under him, apportioning their increase from the harm of others, but when badly configured he brings disasters upon them from the same sources; and he is called Phainon. — Jupiter, being midway between Saturn and the Sun, rules over magnificence, glory, dignity, and things of the same class; and he is called Phaethon. — Mars is ruddy in color, as he approaches the Sun from above, and he rules over the blood within us and [the impulse of] the seminal drive, passion, anger, boldness, and all things done with iron, and things similar to these; and he is called Pyroeis. — The Sun rules over breath, soul, spiritual movement, and the paternal and governing person.— Mercury, inasmuch as he is in conjunction with the Sun, is more rarely seen, but he rules over intelligence, reason, knowledge, and related things; and he is called Stilbon. — Venus, likewise being near the Sun and having magnitude, rules over comeliness, cleanliness, and affection. 3 of Alexandria. 4 Introductory work of Antiochus, written at the top of the page in the hand of the rubricator. 16 "the" deleted. 20 written twice. 23 φιλοστοργείας.

Boll, Sphaera, p. 54ff. and Heidelberg Sitzungsb., I. c. He certainly lived before the third century, for he is quoted by Porphyry. But the epitomator does not read the Thesaurus of Antiochus himself, but a paraphrasing of Rhetor, completed in the 6th century, where the sentences of Vettius Valentis (whom of course Antiochus himself could have read) and Paul Alexandrini's sentences were sometimes quoted, such as from the summaries of chapters 1 y'-18'nsummary (p. 105, 38 - 106, 17) and from the Parisian codex 2506 excerpts (cf. p. 108, n. 3) appear.

* Porphyrius in Isagogis capitulo Περὶ σπορίμου της Σελήνης (p. 194, ed. 1559) cites the opinion of Antiochus, but it now appears that the philosopher of the third century transcribed the old astrologer's book word for word on numerous occasions in definitions and examples, which Boll had already suspected from other indications (Sphaera, p. 56, n. 5). The sources of Antiochus, which he himself discloses, were the Egyptian books of Hermes Trismegistus (p. 116, 10; 117, n. 1; 118, 2) and of Petosiris and Nechepso (p. 116, 11; 119, 25; cf. Porphyr. Isag., p. 194, l. 14). Furthermore, he names Timaeus as an interpreter of Hermes (p. 116, 3, 11), who was without doubt a writer of the first century A.D., like Asclatio, or perhaps earlier (cf. Catal., I, p. 97 s.: V, 1, p. 204, n. 6; p. 205, n. 1; Vett. Val, II, 31 (10) 19 ed. Kroll); IX prooem. (339, 33 Kroll).

• A similar epitome of the same chapter was published by Boll, Catal., VII, p. 197.

καὶ ἔρωτος καὶ ὅσα τῆς αὐτῆς ἔχεται συστοιχείας· καλεῖται δὲ Φωσφόρος. — Ἡ δὲ Σελήνη περιγειοτέρα μὲν ὑπάρχουσα, τὰς ἀπορροίας τῶν ἄνωθεν αὐτῆς δεχομένη ἀστέρων καὶ διακονοῦσα πρὸς τὰ περίγεια, ἄρχει τοῦ ἀνθρωπείου σώματος παντός, ὑγιείας τε καὶ καταστάσεως καὶ μητρὸς καὶ γυναικῶν ἡγεμονικῶν, φάσεις δὲ ποιεῖται πρὸς τὸν Ἥλιον Ζ', μεθ' ἃς καὶ τὴν πρὸς αὐτὸν ἀπάρχεται σύνοδον. — Ταῦτα εἰπὼν ἐπάγει ἐν ποίοις ζῳδίοις γενόμενος ὁ Ἥλιος τόν τε χειμῶνα καὶ τὸ θέρος καὶ τοὺς μεταξὺ τούτων β' καιροὺς ἀποτελεῖ καὶ ὅτι τῶν ε' πλανωμένων Κρόνος μὲν <καὶ> Ζεὺς ἐῳοι ὄντες τῆς αἱρέσεώς εἰσίν τοῦ Ἡλίου καὶ καλοῦνται ἡμερινοί· χαίρουσι γὰρ ἐν ἡμέρᾳ χρηματίζοντες ἐν οἴκοις ἡμερινοῖς καὶ ὁρίοις. Ἄρης δὲ καὶ Ἀφροδίτη νυκτερινοί τε λέγονται καὶ τῆς Σελήνης αἱρέσεώς εἰσιν. ὁ δὲ τοῦ Ἑρμοῦ ἐπίκοινος· ᾧ γὰρ ἂν σχηματισθῇ τῶν ἀστέρων, τούτῳ καὶ ἐξοικειοῦται[1].

β'. Περὶ τῶν ζῳδίων διαλαμβάνει, τίνα τροπικὰ καὶ τίνα δίσωμα καὶ τίνα στερεά, τίνα τε περισσομελῆ καὶ τίνα ἀνθρωποειδῆ, τίνα τε μελοκοπούμενα καὶ τίνα βλοσυρά, τίνα τε πρὸς συνουσίας κατάφορα καὶ ποῖα πολύσπερμά τε καὶ πολύγονα, ποῖα δὲ ἄγονα καὶ ποῖα φωνήεντα καὶ ποῖα ἄφωνα, ἄρσενά τε ποῖα καὶ ποῖα θηλυκά[2], καὶ ὡς τὰ μὲν ἄρσενα τῆς ἡλιακῆς εἰσιν αἱρέσεως, τὰ δὲ θήλεα τῆς σεληνιακῆς, καὶ ὡς Καρκίνος μὲν καὶ τὰ παρ' ἑκάτερα βόρεια, Αἰγόκερως δὲ καὶ τὰ παρ' ἑκάτερα νότια, Κριὸς δὲ καὶ τὰ παρ' ἑκάτερα ἀπηλιωτικά, λιβικὰ δὲ Ζυγὸς καὶ τὰ παρ' ἑκάτερα, καὶ ὡς ἔνιοι τοὺς ἀνέμους ἄλλως διαιροῦντες, Καρκίνον μὲν καὶ τὰ τούτου δύο τρίγωνα, Σκορπίον λέγω καὶ Ἰχθύας, βόρειον τρίγωνον καλοῦσιν. ἀπηλιωτικὸν δὲ Κριὸν Λέοντα Τοξότην, ζεφυριαῖον δὲ Ζυγὸν καὶ τὰ τούτου δύο τρίγωνα· ἀλλὰ ταῦτα μὲν ὡς πρὸς τὸν ὅλον κόσμον.

<γ' Λέγει δὲ καὶ ποῖα ζῴδια τίνων ἀστέρων οἰκοί εἰσιν, καὶ ποῖα τίνων ὑψώματα, τίνα τε ταπεινώματα τίνων, καὶ τίνων ὅρια τῶν ε' πλανωμένων. Ἥλιος γὰρ καὶ Σελήνη τοῖς ἄλλοις ἐπιμερίζοντες ἐν αὐτοῖς οὐκ ἀπένειμαν ὅρια καὶ ὡς ἐν τῷ βάθει τῶν ζῳδίων οἱ ἀστέρες φερόμενοι ἑλικοειδῶς φέρονται σχήματα δ' ποιοῦντες[3] πρῶτον μὲν ἀπὸ τῆς ἀνωτάτης ἀψῖδος καταβαίνοντες, ὅτε <ὑψηλὸν> ταπεινοῦσθαι λέγονται· β' ἐκεῖθεν προς τὸ κατωτάτω ὅτε καὶ ταπεινὸν ταπεινοῦσθαι λέγονται· τὸ μέντοι γ' ἐκ τοῦ κατωτάτω ταπεινοῦ ἐπὶ τὸ μέσον ἀναβαίνοντες ὅτε καὶ ταπεινὸν ὑψοῦσθαι λέγονται τὸ δὲ δ' ἀπὸ τοῦ μέσου πρὸς τὸ ἀνωτάτω ὅτε καὶ ὑψηλὸν ὑψοῦσθαι λέγονται· ὡς ἡ Σελήνη

2 Leg. προσγειοτέρα? cf *Catal.*, VII, p 127, 24. 9 καὶ suppl. 19 δὲ θύλαια δὲ τῆς. 21 λιβυκά. 25 Leg. ζεφύριον? 27 γ' suppl. 30 ἀπένειμαν dubium in codice. 32 ὑψηλὸν addidi; cf. p. 113, 3. 33 τω κατωτάτ(ω) cod.

[1] Doctrinam Petosiridis referebat Antiochus, cf. supra p. 100, n. 2.
[2] Cf. Thrasyllum, supra p. 99, 4 - 100, 5.
[3] Cum sequentibus cf. excerptum Antiochi *Catal.*, VII, p. 128, 12.

and of love and all that belongs to the same series; it is called Phosphoros. — The Moon, being closer to the earth, receiving the effluences of the stars above it and serving as intermediary toward earthly things, governs the entire human body, health and condition and mother and ruling women; it makes 7 phases toward the Sun, after which it also begins its conjunction with it. — Having said these things, he goes on to explain in which signs the Sun, being present, brings about both winter and summer and the 2 intermediate seasons between them, and that of the 5 wandering stars Saturn and Jupiter, being in the eastern position, belong to the sect of the Sun and are called diurnal; for they rejoice when acting in the day in diurnal houses and terms. Mars and Venus are called nocturnal and belong to the sect of the Moon. Mercury is common to both; for whichever of the stars it is configured with, to that one it also assimilates itself.

2. He treats of the Zodiac signs, which are tropical and which are bicorporeal and which are fixed, which are of unequal members and which are human in form, which are mutilated in their members and which are fierce, which are inclined toward sexual intercourse and which are prolific and fruitful, and which are sterile and which are vocal and which are mute, and which are masculine and which are feminine, and that the masculine belong to the solar sect and the feminine to the lunar sect, and that Cancer and the signs on either side of it are northern, Capricorn and the signs on either side of it are southern, Aries and the signs on either side of it are eastern, and Libra and the signs on either side of it are western, and that some, dividing the winds differently, call Cancer and its two trine signs — I mean Scorpio and Pisces — the northern triangle, and the eastern triangle Aries, Leo, Sagittarius, and the western triangle Libra and its two trine signs. But these matters concern the universe as a whole.

"3rd [chapter]. It also says which zodiac signs are the houses of which stars, and which are the exaltations of which, and which are the dejections of which, and what are the terms of the five planets. For the Sun and the Moon, distributing among the others, did not assign terms to themselves, and how the stars, carried in the depth of the zodiac signs, move in a helical fashion, making 4 figures: first, descending from the highest apogee, when they are said to lower the high; 2nd, from there toward the lowest point, when the low is also said to be lowered; the 3rd, ascending from the lowest point of dejection to the middle, when the low is also said to be raised; and the 4th, from the middle toward the highest point, when the high is also said to be raised; as the Moon"

2 Read προσγειοτέρα? and Calal., VII, p. 127, 24. 9 καὶ suppl. 19 δὲ θύλαια δὲ τῆς. 21 λιβυκά. 25 Read Ζεφύριον? 97 γ' suppl. 30 απένειμαν dubious in the codex. 39 ὑψηλὸν added by me; cf. p. 113, 3. 33 τω κατωτάτίω) cod.

---

1 Antiochus referenced the doctrine of Petosiris, cf. above p. 100, n. 2. Cf. Thrasyllus, above p. 99, 4–100, 5.

• With what follows cf. the excerpt of Antiochus, Catal., VII, p. 198, 12.

τὴν μὲν ἄνω ἕλικα τρέχουσα δι' ἡμερονυκτίου ια' διέρχεται μοίρας, τὴν δὲ κάτω διὰ τοῦ αὐτοῦ διαστήματος ιδ' μοίρας· ὅθεν β' λύσεις συνδέσμων λέγεται ποιεῖσθαι· μίαν μὲν ὅταν ἐκ τοῦ ὑψηλοτάτου ἄρχεται ταπεινοῦσθαι, ἃ καὶ χαλεπὰ καὶ ἄκριτα ἐπὶ γενέσεως ὁρᾶται σχήματα· 5 ὁμοίως δὲ καὶ διὰ τῶν μέσων ἀνιοῦσα καὶ κατιοῦσα χαλεπή· ἐκλειπτικὸς ὁ τόπος οὗτος· ἐν τούτῳ γὰρ γινομένη καὶ πανσεληνιάζουσα πρὸς τὴν ὄψιν ἡμῶν τὸ τῆς ἐκλείψεως ὑπομένειν φαίνεται πάθος.

δ'. Μετὰ ταῦτα διέξεισι τί τῶν ἐν ἡμῖν τοῦ σώματος μερῶν ἑκάστῳ τῶν ζῳδίων ἀποκεκλήρωται, ὧν ἡ σκέψις ἐστὶν περὶ σίνους χρησίμη· 10 καὶ μὴν καὶ ποίῳ τῶν πλανωμένων ποῖον. τῶν ἐντὸς τοῦ σώματος ἡμῶν ἀποκεκλήρωται, οἷον ὡς Κρόνῳ μὲν τὴν φλεγματώδην οὐσίαν καὶ βρόγχους καὶ ἔντερα ἀνατιθέασιν καὶ τῶν λοιπῶν ἓξ τίνι τίνα, καθὰ καὶ τοῖς ἄλλοις ἀστρολόγοις λέγεται.

ε'. Ὅτι συνοικοδεσπόται γίνονται ὅταν τὸ αὐτὸ ζῴδιον τοῦ μὲν 15 ὕψωμα, τοῦ δὲ οἶκος ᾖ· καὶ ὡς ἔνιοι συνοικοδεσπότας λέγουσιν τοὺς κυρίους τῶν ἑτέροις ἄστροις ἐξοικειουμένων τριγώνων, οἷον συνοικοδεσπότης ἐστὶν Κρόνος καὶ Ἑρμῆς τῇ Ἀφροδίτῃ, διότι τῶν κατὰ ζῴδια τριγώνων αὐτῆς ἡγοῦν Αἰγοκέρωτος καὶ Παρθένου κύριοί εἰσιν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως καὶ ὡς βασιλέων μὲν ἐπέχουσιν 20 λόγον Ἥλιος καὶ Σελήνη[1] ἕπεται δὲ καὶ ὑπηρετεῖ τῷ Ἡλίῳ μὲν Ἀφροδίτη καὶ Ἑρμῆς, ἡ μὲν ἁφῆς καὶ ὀρέξεως καὶ γονῆς, ὁ δὲ λόγου καὶ φρονήσεως συνεργάται.

ς'. Ὡς ἐπιμαρτυρεῖν ἀλλήλοις οἱ ἀστέρες λέγονται ἐπειδὰν ἀλλήλων τετράγωνοι ἢ τρίγωνοι ἢ διάμετροι ἢ ἑξάγωνοι τύχωσιν, καὶ διὰ πόσων 25 ἕκαστος τῶν εἰρημένων σχηματίζεται καὶ ὡς τὸ μὲν κατὰ τρίγωνον σχῆμα συμπαθὲς καὶ ὠφέλιμον κἂν φθοροποιός <τις> τῶν ἀστέρων ᾖ· ἧττον γὰρ βλάπτει· τὸ δὲ τετράγωνον τοὐναντίον κἂν ἀγαθοποιὸς ᾖ· τὸ δὲ κατὰ διάμετρον ἀντίζηλον μέν, χεῖρον δὲ κακοποιοῦ παρόντος· ἀδρανέστερον δὲ τῶν ἄλλων τὸ ἑξάγωνον· κατὰ δύο δὲ διαφορὰς ἀπο- 30 τελεῖται τὰ εἰρημένα σχήματα ἢ κατὰ ζῴδιον ἁπλῶς ἢ κατὰ μοῖραν, διὸ πολλάκις κατὰ τὰ ζῴδια τριγωνίζοντες οἱ ἀστέρες ἀλλήλους κατὰ τὰς μοίρας οὐ τριγωνίζουσιν καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως σχημάτων.

ζ'. Ὡς δεξιὸν μὲν λέγεται τρίγωνον καὶ τὰ ἄλλα σχήματα ἀφ' οὗ ἀπελήλυθεν ἀστήρ, εὐώνυμον δὲ ἐφ' ὃ πορεύεται.

35 η'. Ὡς παραλλαγὴ μέν ἐστιν ὅταν τὸν κατὰ μοῖραν σχηματισμὸν τῆς ἰσοσκελοῦς γραμμῆς παραλλάξωσιν ἀστέρες, συναφὴ δὲ ὅταν μοιρι-

2 β' λύσις. 4 ὁρᾶται] ὁρα τε. 5–6 εκληπτικόν. 12 βρῶχους (*sic*). 14 ss. Cf. Porphyr., *Isagog.*, p. 186. 23 ss. Cf. Porphyr., *Isagog.*, p 168. 26 φθοροποιός τις scripsi : φθοροποιόν cod. 27 βλάπτει] βλέπει. 33 Cf. Porphyr., *Isagog.*, p. 187. 35 ss. Cf. Porphyr., ibid.

[1] De hac doctrina Aegyptiaca, cf. commentationem meam *Théologie solaire* (*l. c.*), p. 468, n. 3.

running the upper arc, it traverses 15 degrees in the course of a day-and-night, and the lower arc, in the same interval, 14 degrees; whence it is said to make 2 dissolutions of bonds: one when it begins to descend from the highest point, which are also the difficult and indeterminate figures observed in a nativity; likewise, it is also difficult when ascending and descending through the middle points; this place is ecliptic; for when the Moon is in this position and at full moon, it appears to undergo the phenomenon of eclipse in our sight.

4. After this, it proceeds to explain which of the parts of our body is assigned to each of the Zodiac signs, an examination that is useful with regard to injury; and furthermore, to which of the wandering stars each of the inner parts of our body is assigned — for example, how they attribute to Saturn the phlegmatic substance, the bronchial passages, and the intestines, and to each of the remaining six [planets] which [parts], just as it is also stated by the other astrologers.

5. That co-rulers arise when the same zodiac sign is the exaltation of one planet and the domicile of another; and how some call co-rulers the lords of the triangles that are affiliated with other stars — for example, Saturn and Mercury are co-rulers of Venus, because they are the lords of the triangles according to her zodiac signs, namely Capricorn and Virgo; and likewise for the others. And how the Sun and Moon hold the rank of kings; and following and serving the Sun are Venus and Mercury, the one as co-worker of touch, desire, and procreation, the other of reason and wisdom.

4. How the stars are said to bear witness to one another when they happen to be in square, trine, opposition, or sextile with each other; and by how many 25 degrees each of the aforementioned aspects is formed; and how the trine aspect is sympathetic and beneficial even if one of the stars is destructive — for it causes less harm — while the square is the opposite, even if the planet is beneficent; and how the opposition is antagonistic, yet weaker when a malefic is present; and the sextile is the least potent of the others. The aforementioned aspects are realized according to two distinctions: either simply by sign or by degree, which is why stars that form a trine with one another by sign often do not form a trine by degree, and likewise for the other aspects.

7. That the triangle and the other figures are called right-hand from where a star has departed, and left-hand toward where it is traveling.

35 8. That parallax is when stars deviate from the configuration according to degree of the isosceles line, and conjunction is when in degree

2 β' dissolution. 4 ὁρᾶται] ὅρα τε. 5-6 ἐκληπτικόν. 12 βράχους (sic). 14 ss. Cf. Porphyr., Isagog., p. 186. 23 ss. Cf. Porphyr., Isagog., p. 163. 26 φθοροποιός τις scripsi : φθοροποιόν cod. 27 βλάπτει] βλέπει. 33 Cf. Porphyr, Isagog., p. 187. 35 ss. Cf. Porphyr., ibid.

* On this Egyptian doctrine, cf. my commentary Théologie solaire (l. c.), p. 468, n. 3.

κῶς ἤτοι συνάπτωσιν ἤτοι μέλλωσιν ἐντὸς τριῶν συνάπτειν μοιρῶν· ἐπειδὴ τῆς Σελήνης ἡ συναφὴ λέγεται ὅταν ἐντὸς τρισκαίδεκα μοιρῶν συνάπτειν μέλλῃ, καὶ ὡς Ἡλίου βάλλοντος εἰς τὰς μέσας μοίρας ἀκτῖνα πᾶσα συναφὴ ἀσθενής.

θ'. Ὡς κόλλησίς ἐστιν ὅταν ἀστὴρ ἀστέρι προσέρχηται ὁ ταχύτερος τῷ βραδυτέρῳ οὐ πλέον ἀπέχων μοιρῶν γ'· σύνοδος δὲ ὅταν μηδέπω μὲν ᾖ κεκολλημένος, μέλλῃ δὲ κολλᾶσθαι, πλέον μὲν ἀπέχων τῶν γ' μοιρῶν, οὐ πλέον δὲ διιστάμενος τῶν πεντεκαίδεκα μοιρῶν· καὶ ὡς ἀπόρροιά ἐστιν ὅταν ἀστὴρ ἀστέρι βραδύτερος ταχυτέρῳ κολλήσεως γεγενημένης ἀποχωρίσῃ τῆς συναφῆς ἢ ὅταν ἀπὸ συναφῆς τῆς κατὰ σχῆμα πλείους τῶν ἐπιβαλλουσῶν τῷ σχήματι μοιρῶν ἄρχηται μοίρας ἔχειν.

ι'. Ὡς ἐπιδεκατεύειν λέγεται καθυπερτερῶν ἀστὴρ ἀστέρος ὁ ἐν τῷ δεξιῷ ζῳδίῳ τὰ ἐν τῷ εὐωνύμῳ καθ' ὁπότερον τῶν πολλάκις εἰρημένων δ' σχημάτων, καὶ ὡς ὁ καθυπερτερῶν ἰσχυρότερος μέν, ἐὰν δὲ καὶ ἀνατολικὸς ᾖ καὶ ἐπίκεντρος, ἀγαθὸς μὲν ἐπίσημον τὴν γένεσιν σημαίνει κακὸς δὲ λυμαίνεται ταύτην.

ια'. Ὡς ὁμορόησις λέγεται ὅταν ἐν τοῖς αὐτῶν ὁρίοις ἀστέρες ὦσιν ἢ κατὰ κόλλησιν ἢ κατὰ σχῆμα οἱονδήποτε ἀλλήλους ἐφορῶσιν ἐν ὁρίοις τοῦ αὐτοῦ ἀστέρος ὄντες· κενοδρομία δὲ ὅταν ἡ Σελήνη μηδενὶ συνάπτῃ μήτε ζῳδιακῶς μήτε μοιρικῶς μήτε κατὰ κόλλησιν μήτε κατὰ σχῆμα μήτε μὴν ἐντὸς λ μοιρῶν τῶν ἔγγιστα συναφὴν ἢ σύνοδον ποιεῖσθαι μέλλῃ· καὶ ὡς κακοῖ τὸ σχῆμα τὴν γένεσιν.

ιβ'. Ὡς ἐμπερίσχεσις λέγεται ὅταν δύο πλανῆται ἕνα μὲν περιλάβωσιν, μηδενὸς ἄλλου ἀστέρος εἰς τὰ μεταξὺ αὐτῶν βάλλοντος ἀκτῖνα, μήτε μὴν ἐντὸς ζ' μοιρῶν, ἐφ' ἃς παρελήλυθεν ἢ ἐφ' ἃς ἔρχεται. ἡ δὲ τοιαύτη ἐμπερίσχεσις ὑπὸ ἀγαθῶν μὲν γινομένη ἀγαθή, φαύλη δὲ ὑπὸ φαύλων

ιγ'. Ὡς ἀκτινοβολεῖ ἀστὴρ ἀστέρα ὁ προηγούμενος τὸν ἑπόμενον κατὰ σχῆμα, οἷον ὁ ἐν Κριῷ ἀκτινοβολεῖ τὸν ἐν Αἰγόκερῳ καὶ ἐπὶ τῶν ὁμοίων· ὁ δὲ ἑπόμενος τὸν προηγούμενον ἐφορᾷ μὲν καὶ καθυπερτερεῖ φερόμενος ἐπ' αὐτόν, οὐκ ἀκτινοβολεῖ δέ πάσης γὰρ αὐγῆς ἡ ὄψις εἰς τοὔμπροσθεν φέρεται ἡ δὲ ἀκτὶς εἰς τοὐπίσω· λέγεται δὲ ἀκτινοβολεῖν ζῳδιακῶς καὶ μοιρικῶς.

ιδ'. Ὡς ἐν λαμπήναις ἰδίαις ἀστέρες λέγονται εἶναι ἐπὰν οἴκῳ ἰδίῳ ἢ ὑψώματι ἢ ὁρίοις ὦσιν· ὁ γὰρ τοιοῦτος δυνατὸς κἂν ὑπὸ τὰς αὐγὰς τελῇ τοῦ Ἡλίου, ἐὰν δὲ καὶ ἀνατέλλωσιν ἢ ἐπίκεντροι ὦσιν ἢ καὶ τὴν Σελήνην ἐφορῶσιν, ἐξουσιαστικὴν δηλοῦσιν τὴν γένεσιν.

1 ἤτοι prius] ἤδοι (*sic*) 5-6 Cf Porphyr *Isagog.*, p. 187, 23. 6 γ' ex ε' correctum. 7 μέλλει. 8 ss. Cf. Porphy ibid., v 29 ss. 9 βράδυ παχυτέρῳ cod., corr. Boudreaux. 10 αποχωρίσει. 12 αποδεκατεύων; cf. supra p. 106, 30 et Porphyr., *Isagog.*, p. 188-9. 16 λημαίνεται. 17 ὁμορρόησις cod. cf. supra p. 107, 26 et Porphyr., *Isagog.*, p 189 19 ἀστέρου. 22 μέλλοι. κακῇ. 23 ἐνπερισχεσις. Cf. Porphyr., *Isagog.*, p. 188. ἕναν. 28 ss. Cf. Porphyr., *Isagog.*, p. 189. 31 αὐτῆς. 32 εἰ δὲ ακτί. 34 Cf. Porp *Isagog.* 190 et upra p. 107, 33.

ically either conjoin or are about to conjoin within three degrees, since the conjunction of the Moon is said to occur when it is about to conjoin within thirteen degrees, and that when the Sun casts a ray into the middle degrees, every conjunction is weak.

9. That adhesion is when a faster star approaches a slower star, being no more than 3 degrees away; and conjunction is when it has not yet adhered but is about to adhere, being more than 3 degrees away but no more than 15 degrees distant; and that emanation is when a slower star, after adhesion has occurred with a faster star, withdraws from the conjunction, or when from a conjunction according to configuration it begins to have more degrees than those assigned to the configuration.

10. How a star is said to overcome by tens (epidekateuein) when the star in the right-hand Sign overcomes the one in the left-hand Sign through any of the four aspects mentioned many times, and how the overcoming star is stronger, especially if it is also oriental or angular; if it is a benefic, it signifies a distinguished nativity, but if a malefic, it damages it.

11. How co-boundary (homoreesis) is said to occur when stars are in each other's terms, either by conjunction or by any aspect, while being in the terms of the same star; and void of course (kenodromia) occurs when the Moon applies to no planet, neither by sign nor by degree nor by conjunction nor by aspect, nor is it about to make an application or conjunction within the nearest degrees; and how this configuration harms the nativity.

12. How enclosure (emperischesis) is said to occur when two planets enclose one planet between them, with no other star casting its ray into the space between them, nor indeed within 3 degrees of where it has passed or where it is heading. Such an enclosure, when made by benefics, is good, but when made by malefics, it is harmful.

13. How a star casts rays (aktinobollei) at another star when the preceding one aspects the following one, for example the one in Aries casts rays at the one in Capricorn and similarly in analogous cases; but the following one looks upon and overcomes the preceding one as it moves toward it, yet does not cast rays at it, for the sight of every ray is directed forward while the ray itself goes backward; and it is said to cast rays both by sign and by degree.

14. Stars are said to be in their own chariots when they are in their own house, exaltation, or bounds; for such a star is powerful even if it falls under the rays of the Sun, and if they also rise or are angular or behold the Moon, they indicate an authoritative nativity.

1 ie prius) ἥδοι (sic) 5-6 Cf Porphyr Isagog., p. 187, 23. 6 c' ex e' correc-ntum. 7 is coming. 8 ff. Cf. Πorphy ibid., n 29 88. The evening pachyterps cod., corr. nBoudreaus. 10 leave. 12 decimals ; cf. supra p. 106, 30 et Porphyr, nIsagog., p. 188-9. 10 is left. 17 dmorroisis cod. cf. supra p. 107, 25 etnPorphyr., Isagog., p 189 19 of a star. 22 members. bad.nbad. 13 interventions.

Cf.nPorphyr., Isagog., p. 183. One. 2849. Cf. Porphyr., Isagog., p. 189.n31 of her.n32 if not

act. 34 C. Porpn190 et upra p.

Isagog. 107, 33.

ιε'. Ὡς ἅπας ἀστὴρ ὡς ἐπίπαν ἐντὸς ιε' μοιρῶν Ἡλίου γενόμενος δύνει, ἀνατέλλει δὲ ὅταν πλέον διαστῇ· καὶ ἑῷαν μὲν ἀνατολὴν ποιεῖται ὅταν προαναφέρηται τοῦ Ἡλίου, ἑσπερίαν δὲ ὅταν ἐπικαταφέρηται.

ις'. Ὡς μετοχὴ μέν ἐστιν ὅταν ἀστὴρ ἀστέρι σύνεστιν <ἑνὶ> ζῳδίῳ ἢ ἐφορῶσιν αὐτό, ... εἰ δὲ τοῦτο τοῦ μὲν οἶκος, τοῦ δὲ ὕψωμα. ἀντανάλυσις δὲ ὅταν οἱ ἡμερινοὶ τοὺς τῶν νυκτερινῶν οἴκους ἢ οἱ νυκτερινοὶ τοὺς τῶν ἡμερινῶν ἢ τὰ ὑψώματα ἀντικατασχῶσιν, ἢ ὅταν οἱ μὲν ἐπικείμενοι τοῖς ζῳδίοις ἀστέρες καλῶς χρηματίζωσιν, οἱ δὲ οἰκοδεσπόται αὐτῶν ἐν κακώσει καὶ ἀχρηματίστοι ὦσιν.

ιζ'. Ὡς δορυφορίας γένη ἐστὶν τρία· ἓν μέν, ἐάν τινα ὄντα ἀστέρα ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι <ἕτερος ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι> κατὰ σχῆμα κατοπτεύῃ ἐπὶ τὴν ἀναφερομένην αὐτοῦ μοῖραν τὴν ἀκτῖνα βάλλων, οἷον ἐν Λέοντι τοῦ Ἡλίου ὄντος, Κρόνος ἐν Ὑδροχόῳ διαμετρῶν δορυφορεῖ καὶ Ζεὺς ἐκ Τοξότου τριγωνίζων, καὶ μὴν καὶ Ἄρης ἐκ τοῦ Κριοῦ ἑξαγωνίζων καὶ Ἀφροδίτη ἀπὸ Ζυγοῦ, ἀπὸ Διδύμων Ἑρμῆς ἢ τὸ ἀνάπαλιν· καθόλου γὰρ ὁ ἐπικεντρούμενος δορυφορεῖται· καὶ τοῦτο ὁμοίως καὶ ἐπὶ τῆς τῶν λοιπῶν ζ' <πρὸς> ἀλλήλους σχέσεως τῶν πλανωμένων.

Ἕτερον δὲ δορυφορίας εἶδος τὸ κατὰ ἀκτινοβολίαν, ὃ γίνεται ὅταν ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι φωστήρων κειμένων καὶ ἐν ἀλλοτρίῳ οἴκῳ ὁ ἀστὴρ τῆς αἱρέσεως ὧν ἀκτινοβολήσῃ, οἷον Ἥλιος μὲν εἰς τὴν προαναφερομένην μοῖραν, Σελήνη δὲ ἐφ' ἣν ἔρχεται κατ ἰσοσκελῆ γραμμὴν τὴν ἀκτῖνα βάλλων· αἱ μέντοι τρίγωνοι δορυφορίαι ἀμείνους τῶν τετραγώνων καὶ διαμέτρων, αἱ δὲ ἑξάγωνοι ἀσθενέστατοι.

Τρίτον δὲ γένος δορυφορίας ἐστίν, ὅταν ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι ἄστρα ὄντα ἐν ἡμερινῇ μὲν γενέσει ἡμερινά, ἐν νυκτερινῇ δὲ νυκτερινά, δορυφορήσωσιν προηγουμένων· ἢ ἑπομένων καθ' ὃ σχῆμα Ἥλιος μὲν δορυφορηθήσεται ὑπὸ τοῦ προαναφερομένου ἀστέρος, Σελήνη δὲ ὑπὸ τοῦ ἐντὸς ζ' μοιρῶν προαναφερομένου. τὸν μέντοι Ἥλιον οὐ βλάψουσιν δορυφοροῦντες, οὐδ' ἂν ιε' μοίρας αὐτοῦ ἐν τῷ προαναφέρεσθαι διαστῶσιν ἀνατολικοὶ ὄντες καὶ δύναμιν ἔχοντες· κατὰ τὰ αὐτὰ δὲ καὶ Ἥλιος δορυφορήσει τὸν συναιρέτην ἐπίκεντρον ὄντα, καὶ ἡ Σελήνη ὁμοίως. παρ' αἵρεσιν δὲ δορυφορία γίνεται, ὅταν οἱ ἡμερινοὶ τοὺς νυκτερινούς, καὶ οἱ νυκτερινοὶ τοὺς ἡμερινοὺς δορυφορήσωσιν. κάκωσις δὲ λέγεται ὅταν ὑπὸ φθοροποιῶν ἀκτινοβολῆταί τις ἢ ἐμπεριέχηται ἢ συνάπτῃ τινὶ τούτων, ἢ κολλᾷ, ἢ

4 ζῴδω cod. Leg. ἑνὶ ζῳδίῳ, cf. *Catal.*, I, p. 157, 25 vel τῷ αὐτῷ ζῳδίῳ, cf. supra p. 107, 4. 5 ss. Cf. supra p. 107, 6 ss.; Porphyr., *Isagog.*, p. 189. 5 Lacunam sign. Boll collato Porph. 7 εἰ μέν. 8 εἰ δὲ. 10 ss. Cf. Porphyr. *Isagog.*, p. 190; *Catal.*, I, p. 156, 8 ss. 11 ἕτερος - ὑψώματι suppl. 16 επικεντρόμερος. 17 πρὸς suppl. 21 ἡ ἀστὴρ. ακτινωβωλήσει. 22-23 κατασοκελλὴ. 26-27 ενυκτερηνὴ (*sic*). 31 διεστάσιν ἀνατολικῶ. 33 Cf. *Catal.*, I, p. 156, 24. 35 Cf. *Catal.*, I, p. 157, 8 = Porphyr., p. 188. 36 ακτηνοβωλλεῖταί. εμπεριεχεισται. συνάπτει.

20. That every star in general, when it comes within 15 degrees of the Sun, sets, and rises when it moves further away; and if it makes its rising when it precedes the Sun, it is a morning rising, and an evening rising when it follows after the Sun.

16. That participation occurs when a star is in conjunction with another star in one sign or when they behold it; ... but if for one this is the house and for the other the exaltation. Mutual dissolution occurs when diurnal planets occupy the houses of nocturnal planets or nocturnal planets occupy those of diurnal planets, or the exaltations, or when the stars presiding over the signs conduct themselves well while their house-rulers are in affliction and without dignity.

10.17. There are three types of guardianship (doryphoria): the first is when a star in its own house or exaltation is aspected by another star <in its own house or exaltation>, casting its ray by aspect toward the degree that is rising with it — for example, when the Sun is in Leo, Saturn in Aquarius guards it by opposition, and Jupiter by trine from Sagittarius, and indeed Mars by sextile from Aries and Venus from Libra, Mercury from Gemini or conversely; for in general the planet at an angle is guarded; and this applies equally to the mutual relationship of the remaining 7 <planets among one another.

The second type of guardianship is that by ray-casting, which occurs when the luminaries are placed in the ascendant or midheaven and in a foreign house the star of the sect casts its rays — for example, the Sun toward the degree that rises before it, and the Moon toward the degree toward which it is moving, casting its ray along an isosceles line; the trine guardianships are better than the squares and oppositions, while the sextile ones are the weakest. The third type of guardianship is when stars in the ascendant or midheaven, diurnal stars in a diurnal nativity and nocturnal stars in a nocturnal nativity, guard by preceding or following by aspect — the Sun will be guarded by the star that rises before it, and the Moon by the star that rises before it within 7 degrees; those acting as guards will not harm the Sun, not even if they are separated from it by 15 degrees in the rising-before position, being oriental and having strength; and in the same way the Sun will also guard the co-sect planet that is at an angle, and the Moon likewise. A guardianship contrary to sect occurs when the diurnal planets guard the nocturnal ones, and the nocturnal guard the diurnal ones. Affliction (kakosis) is said to occur when someone is ray-cast upon by malefics, or is enclosed by them, or applies to one of them, or is joined to them, or

4 Zodo cod. Leg. a life, cl. Catal., I, p. 157, 25 vel τῷ αὐτῷ ζῳδιῳ, εἰ.nsupra p. 107, 4.n5 ss.

Cf. supra p. 107, 6 as. ; Porphyr. Isagog., p. 189. 5 Lacunaransign. Boll collato Porph. 7 if me. 8 or 10 ss. Cf. Porphyr. Isagog., p. 190; nCatal., I, p. 156, 8 ss, 11 other - high suppl. 16 epicentromere.

n17 πρὸσnsuppl. 21 or star. radiate. 22-23 storage cells. 26-27 nyctereni (sic).n31 eastern distension. 33 Cf. Catal., I, p. 156, 24. 35 Cf. Catal., 1, p. 157, 8 =nPorphyr., p. 188. 36 irradiated. contains contracts.

καθυπερτερῆται ἢ οἰκοδεσποτῆται κακῶς κειμένου τοῦ φθοροποιοῦ ἢ ἐν ἀχρηματίστοις ὄντος τοῦ κακουμένου.

ιθ'. Ὅτι χρηματίζειν φησὶν κατὰ Τίμαιον ζῴδια ζ', τά τε δ' φημὶ κέντρα, ὡροσκοποῦν καὶ μεσουρανοῦν καὶ δῦνον καὶ ἀντιμεσουρανοῦν· δύο δὲ τοῦ ὡροσκόπου τρίγωνα καὶ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος. τὰ δὲ λοιπὰ ἄχρηστα· πολλάκις δέ, ἂν τοῦ ὡροσκοποῦντος αἱ πλείους μὲν μοῖραι προανεχθῶσιν, αἱ δὲ ἔσχαται ὡροσκοπῶσιν, ἔσται τότε τὸ ἐπαναφερόμενον συγχρηματίζον τῷ ὡροσκόπῳ. ἀποκλίματα δέ ἐστιν δ', τὰ τῶν κέντρων προάγοντα καὶ ἀπορρέοντα ἐπ' ἀναφορᾷ, ὁμοίως δ' τὰ τοῖς κέντροις ἑπόμενα Ἑρμῆς φησιν κατὰ Τίμαιον· κατὰ δὲ τὸν Βασιλέα χρηματίζειν λέγονται τὰ δ' κέντρα καὶ αἱ τούτων ἐπαναφοραί

κ'. Ὅτι ἀπηλιωτικὸν <μὲν> κλίμα πρὸς τὰς γενέσεις λέγουσιν τὸ ἀπὸ ὡροσκοπούσης μοίρας μέχρι δυνούσης, λιβικὸν δὲ τὸ ἀπὸ δυνούσης μέχρι ὡροσκοπούσης.

κα'. Ὅτι σπόριμον Ἥλιον λέγουσιν εἶναι ἐπὶ τῶν δεκαμήνων τὸ εὐώνυμον αὐτοῦ τετράγωνον ἐφ' ὃ πορεύεται· ἐκεῖ γὰρ αὐτοῦ ὄντος ἡ σπορὰ ἐγένετο· ἐπὶ δὲ τῶν ἑπταμήνων τὸ διάμετρον. ἐπὶ μέντοι τῆς Σελήνης σπορίμου διαφορὰς μέν φησιν γεγονέναι, δύο δὲ τούτων προκρίνει δόξας· τοὺς δὲ κυρίους τῶν ὁρίων καὶ τῶν ζῳδίων δεσπότας εἶναι τῆς ὅλης γενέσεως.

κβ'. Ἔτι φησὶν τὸν ὡροσκόπον τῆς σπορᾶς καὶ ἑτέρως παρὰ τὰ εἰρημένα τινὰς θηρεύειν· τοῦ γὰρ ὡροσκοποῦντος ζῳδίου, φησίν, πόστῃ μοίρᾳ ἦν, δεῖ σκοπεῖν, εἶτα τὰς ἀνενηνεγμένας πολυπλασιάζειν ἀπὸ τοῦ τῶν ὡρῶν πλήθους, καὶ συγκεφαλαιωσάμενος ἀποδιδόναι ἀνὰ λ' ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου κατὰ τὴν ἀποκύησιν καὶ ὅπου δ' ἂν ἐμπέσῃ ὁ ἀριθμός ἐκεῖνο ὡροσκοπῆσαι κατὰ τὴν τοῦ σπέρματος καταβολήν.

κγ'. Καὶ τὸ δωδεκατημόριον δὲ τῆς Σελήνης διχῶς θηρεύεσθαί φησιν, ὅπως τε δεῖ τὸ κλίμα λαμβάνειν καὶ ὡς τὰ μὲν ὀρθὰ τῶν ζῳδίων ἐν πλείονι, τὰ δὲ πλάγια ἐν ἐλάσσονι ἀναφέρεται.

κδ'. Ταῦτα εἰπὼν τῶν δώδεκα τόπων τοῦ θεματίου ὀνόματά τε καὶ

1 καθυπερτερεῖται. οἰκοδεσποτόται. 3 Cf. Porphyr., *Isagog.*, p. 193; *Catal.*, I, p. 157, 14. 6 ἀχρημάτιστα rectius Porph. 7 προαναιχθώσιν cod. (χ ut vid. in λ corr.); cf. Porph. προαναφέρονται. 8 ἔσται τότε] αἰσθότε (*sic*) cod., corr. ex Porph. συχρηματίζων. 9 ἀπὸ κλίματος cod.; cf. Porphyr., *Isagog.*, p. 191. 10 επαναφωραι (*sic*) cod. 11 Βασιλέα] scil. Nechepso. 13 Cf. Porphyr., *Ibid.* μὲν add. 14 λιβυκόν. Epitomator Antiochum decurtavit, duobus climatibus omissis. 16 Cf. Porphyr., *Isagog.*, p. 194, ubi Antiochum auctorem laudat. 19 σπόριμον διαφώρους. 20 προκρίνειν. 22 Cf. Porphyr., *Ibid.* 24 ανηνεγμένας cod.; ἀνηγμένας Porphyr. 25 ὁρῶν. 27 εμπέσει. ἐκεῖνω. ὡροσκόπησε. 29 Cf. Porphyr., *Isagog.*, p. 194.

---

[1] Cf. supra p. 111 n. 2.

is dominated or ruled by the lord of the house in an unfortunate position, the malefic being afflicted or in an inoperative place.

19. That according to Timaeus the operative signs (chrematizing signs) are 7: namely the 4 angles, I mean the Ascendant, the Midheaven, the Descendant, and the Lower Midheaven; and the two trines of the Ascendant and the succedent of the Midheaven. The remaining signs are inoperative; but often, if the greater part of the degrees of the ascending sign have already risen and only the last degrees are ascending, then the sign in succession will be operative together with the Ascendant. The cadent signs are 4, those which precede the angles and flow away in the order of rising, and likewise the 4 signs following the angles — so says Hermes according to Timaeus; but according to the Basileus, the 4 angles and their succedents are said to be operative.

